## ΚΕΦ. ΤΡΙΤΟΝ.

### Περὶ τῆς ἐν ταῖς Μελέταις Μεθόδου, ἔνθα περὶ Μεθόδου Ἀναλύσεως καὶ Εὑρέσεως.

§. ωϙθ΄.

Μελέτην ἐπὶ τοῦ παρόντος ὀνομάζειν ἀξιῶ, τὴν μετὰ συντόνου τῆς σπουδῆς καθισταμένην θεωρίαν, εἰς ἐπιβολὴν ὧν τῆς συνέσεως καὶ μάλα τῇ ψυχῇ μέλον ἐστίν. Ἐπεὶ δὲ αὐτῶν ἐστὶ τῶν κατὰ νοῦν ἐνεργημάτων χρῆσις ἡ θεωρία, ἢ οὐκ ἄνευ τῆς τούτων χρήσεως. Τὰ δὲ, οὐκ ἀεὶ κατὰ κόσμον, οὐδ᾽ ὡς χρὴ συμβαίνει χωρεῖν, εἰκῇ δὲ τὰ πολλὰ καὶ ὡς ἔτυχε παραφέρεσθαι, ἀναγκαῖον ἄρα κἀν ταῖς μελέταις μέθοδόν τινα καὶ τάξιν τῶν νοημάτων παρατηρεῖν, εἰ μέλλοι κάρπιμ᾽ ἔσεσθαι, μηδὲ,

„Νοῦ φροῦδος, ὦτ᾽ ἀχρεῖα, φροντίδες κεναί.

τὸ τοῦ ἔπους, εἰς οὐδὲν ὑγιὲς, οὐδ᾽ ἄρτιον ἀποβαίνοντα. Ἡ γὰρ ἐπὶ τῷ τὰς μελέτας οὐκ ἀκάρπους ποιεῖσθαι μέθοδος, οὐθὲν ἕτερον εἶναι δοκεῖ, ἢ τῶν νοήσεων ἡ δόκιμός τε καὶ εὔθετος χρῆσις, ἧς τέλος ἡ τῶν ἀγνοουμένων κατάληψις.

§. Ϡ΄. Ἔστι δὲ ὁ τρόπος τῆς τῶν ἀγνοουμένων θήρας διττός. Ὁ μὲν γὰρ, ᾗ τῶν βιβλίων τις ἐγκύπτων τοῖς ἐκδεδομένοις, τὰ παρὰ τῶν ἄλλων διὰ σπουδῆς ποιεῖται συνιέναι, καὶ παιδευθῆναι, ἅττα ἐκεῖνοι διαμελετήσαντες, τοῖς εἰσέπειτα κειμήλια οἷα καλλίστων καταλελοίπασι γνώσεων· ὁ δὲ, ᾗ καὶ καθ᾽ ἑαυτόν ποτέ τινος τῶν ἀγνοουμένων, ἤτοι πᾶσιν, ἢ τισὶν, ἑαυτῷ δὲ πάντως, τὴν εὕρεσίν τις καὶ κατανόησιν ἀναβάλλεται. Διὸ καὶ τούτων τὴν μὲν ἄντις Μαθητείας μέθοδον οὐκ ἀπεικότως ὀνομάσειε, τὴν δὲ Ἀναλύσεως, καὶ Εὑρέσεως ἰδιαίτερον, ἢ κοινῇ προσηγόρευται. Ἀλλὰ περὶ μὲν ἐκείνης, καὶ τὰ ἀνωτέρω που (Μέτιθι τὴν Β Προδιατ., καὶ ἰδίᾳ τὰ ἀπὸ §. λή. εἰς τέλος) ἡμῖν παρατεθέντα, τάχα ἂν τοῖς μὴ ὀλιγώρως ἀντιπαρελευσομένοις αὐτὰ ἐξαρκέσειεν· ὥστε περὶ ταύτης ἑξῆς διαληπτέον.





§. Ϡα΄. Ἔστι δὲ, ὡς τύπῳ εἰπεῖν ἡ κατὰ τὴν Ἀνάλυσιν αὕτη Μέθοδος, ὁδός τις οἷα, ἣν δεῖ βαδίζειν, ἐπὶ εὑρέσει ἀγνοουμένης τινὸς ἀληθείας, διὰ τῶν ἤδη γινωσκομένων νοερῶς βηματίζοντας, καὶ ἀπὸ τῶν συνθέτων προσβιβαζομένους ἐπὶ τὰ, ἐξ ὧν ἐκεῖνα, ἁπλούστερα. Ἐξ οὗ καὶ τῶν ὀνομάτων (§. ἀνωτ.) τοῦ μὲν ὡς ἐκ τοῦ τρόπου, τοῦ δ᾽ ὡς ἐκ τοῦ τέλους, προσφυῶν ἔλαχε. Διαφέρει δὲ τῆς ἐν ταῖς Ἀποδεικτικαῖς προόδοις περὶ ὧν ἐλέγομεν (§. ωϙβ΄. κξ.) αὕτη, ᾗ ὅλον μέρους. Κατ᾽ ἐκείνην μὲν γὰρ, μόνη ἡ τῶν Συλλογισμῶν σειρὰ, ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα δι᾽ ἀναλύσεως ἡμῖν ἐχώρει, ἐξ ὧν συνεκροτεῖτο καὶ συνεπλέκετο. Διὰ δὲ ταύτης, ἁπάσαις κατὰ τὸ παρῆκον ταῖς νοεραῖς ἐνεργείαις δεήσει προχρῆσθαι· ἄλλοτε ἄλλῃ, καὶ κατὰ τὸ δέον αὐτὰς διαιτεῖν, ᾗπερ ἂν ἑκάστη συντελῶς ἔχοι καὶ τρόπου καὶ τάξεως, πρὸς τὴν ἀπὸ τῶν ἐν ποσὶν οὕτω φᾶναι, ἔστ᾽ ἐπὶ τὰς ἀνωτάτας τῶν ἀρχῶν ἄνοδον. Ὅπερ ἐστὶ, πρὸς τὴν ἀπὸ τῶν ἡμῖν ἤδη γνωρίμων τε καὶ δήλων, ἐπὶ τὴν τοῦ ἀδήλου τε καὶ ἀγνοουμένου τέως ἀνεύρεσιν (1). Ταύτης τοιγαροῦν Κανόνες οἱ Κεφαλαιωδέστεροι κείσθωσαν οἱ ἐφεξῆς.

### ΚΑΝΩΝ Α.

§. Ϡβ΄. „Ἡ τοῦ Ζητήματος κατάστασις ἐπ᾽ ἀκριβὲς ὡς „οἷόν τε πανταχόθεν πολυπραγμονείσθω.

Τρία τινὰ ἐνταῦθα ἐκ πρώτης ἀπαντᾷ, ἐφ᾽ οἷς, ὁπόσην ἄντις καταθείη, τὸ τῆς προσοχῆς περιττὸν οὐ μήποτε γένοιτο. Τὰ μὲν, οἱ δύο τοῦ Ζητήματος ὅροι εἰσὶ, τὸ δὲ τρίτον ἡ τούτων μεταξὺ ἐγχωροῦσα σχέσις, ἐν ᾗ τὸ πᾶν ἔοικε συνειλῆφθαι τῆς τοῦ ἀπορουμένου δυνάμεως. Τούτων ἐκεῖνα μὲν πάντη πάντως προγινώσκειν ἐπάναγκες, ταύτην δέ τοι δεῖ μέν πως προειληφέναι, εἰκὸς δέ πως καὶ ἀγνοεῖν, ὡς εἰς τοῦτο, ἐξ ἐκείνων τε καὶ δι᾽ ἐκείνων τῆς ὅλης ἐκπεραιουμένης εὑρέσεως (2). Οὐκοῦν ζητή-



(1) „Τότε γὰρ οἰόμεθα γινώσκειν „ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν „τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώ„τας, καὶ μέχρι τῶν στοιχείων. (Ἀριστ. Φυσ. Βιβλ. Α. Κεφ. α. Καὶ Μεταφ. Βιβλ. Α. Κεφ. γ΄.)

(2) Ὅτι μὲν οὖν ἀναγκαῖον ἐστὶ παντὸς ζητήματος τοὺς ὅρους καλῶς προγινώσκεσθαι, αὐτόθεν οἶμαι φανερὸν παντὶ τὸν νοῦν ἐπιστήσαντι· „Πῶς „γάρ τις καὶ ζητῆσαι δύναται μηδε„μίαν ἔννοιαν ἔχων τοῦ ζητουμένου πράγ„ματος, οὔτε γὰρ ἐπιτυχὼν εἴσεται ὅ„τι ἐπέτυχεν, οὔτε ἀτυχήσας ὅτι ἠ„στόχησεν (Σέξτ. Ἐμπειρ. πρὸς τοὺς Μαθημ.). Ἀγνοῶν γάρ τι τὸ περὶ